στερράν τε πίστιν ἀτρέμας δ' ἡδρασμένην,
ἐπιστροφήν τ' ἐς κρεῖττον ἐξ ἁμαρτίας,
πειθώ τε πᾶς τις ἥν τεκόντι παῖς ὄφλει·
τῷδ' εἰς ἔπειτ' ἤνεγκεν ἀδρῶς τὴν χάριν,
τρέπων ἅπαν μὲν δεινὸν ἐς τοὐναντίον,
δυσπραξίαν πάνδεινον εἰς εὐπραξίαν,
δυσθυμίαν τε τὴν πρὶν εἰς θυμηδίαν,
νέμων δὲ τερπνὰ χειρὶ δαψιλεστάτῃ,
καὶ διπλασίω πάντα, καὶ ταῦτ' ἀφθόνως.
ὥσπερ δ' ἀκέστωρ φαρμάκοις δραστηρίοις
δεινῶς νοσοῦντας ἐκκαθαίρων ἐς δέον
τοὺς δ' ἀσθενοῖ τὸ πρόσθεν ἐκλύων ἅλις·
ἅπαν τὸ λυποῦν ἐκκενώσας δ' εὐστόχως,
χυμῶν τε δρώντων αἰτίας νοσημάτων
τοὺς μὲν κενώσας, τοὺς δὲ καὶ μεθαρμόσας,
δυσχυμίαν τρέπων μὲν εἰς εὐχυμίαν,
καχεξίαν δὲ τὴν πρὶν εἰς εὐεξίαν,
νοσοῦσιν εἰσήνεγκε ῥῶσιν καὶ σθένος,
δρῶν τοὺς ἀκεσμοὺς ἀντικειμένων ὕπο·
οὕτω τὸ θεῖον ἐξ ἄκρως ἐναντίων
πλείω τὰ τερπνὰ κἀγαθὰ βροτοῖς νέμει,
δι' ὕδατος μὲν καὶ πυρὸς τοὺς δ' ἐξάγον
ἀνεκλάλητον εἰς ἀνάψυξιν σάφα,
σοφῶς δ' ἅπαντα, κἂν βροτῶν ὑπὲρ νόον,
διεξάγον βρότειον εἰς σωτηρίαν.